# Lettre à Pythoclès d'Epicure = DL X, 84-116 - éd. Usener

### Auteur(s) : Epicure ; Diogène Laërce

## Les folios

En passant la souris sur une vignette, le titre de l'image apparaît.

21 Fichier(s)

## Présentation du document

Date1887
Mentions légales

- Responsabilité éditoriale : Department of Philosophy and Cultural Heritage of University Ca' Foscari of Venice ; EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle). Licence Creative Commons Attribution – Partage à l'Identique 3.0 (CC BY-SA 3.0 FR)
- Texte : Domaine public

Editeur de la ficheDepartment of Philosophy and Cultural Heritage of University Ca' Foscari of Venice ; EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle)
Contributeur(s)

- Giovacchini, Julie
- Marchand, Stéphane

Langue

- Français
- Grec ancien

SourceVoir description du texte : CIRIS

## Contenus reliés

#### Collection Ep. Lettre à Pythoclès

Lettre à Pythoclès d'Epicure = DL X, 84-116 - éd. Mühll *est une version de ce*

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

*document*

Lettre à Pythoclès d'Epicure = DL X, 84-116 - éd. Frobenius *est une version de ce document*

Lettre à Pythoclès d'Epicure = DL X, 84-116 - éd. Hicks *est une version de ce document*

# Description du document

DescriptionReproduction de l'édition grecque de Usener accompagnée d'une transcription indexée et enrichie de notes critiques.

Texte grec de la transcription établi à partir de :
R. D. Hicks, Lives of Eminent Philosophers. Diogenes Laertius. Cambridge. Harvard University Press, 1972 (First published 1925) = #Hic
Miroslav Marcovich, Diogenes Laertius Vitae Philosophorum, Stuttgart, Teubner, 1999 = #Marc
Hermann Usener, Epicurea, Stuttgart, Teubner, 1887 = #Us
Tiziano Dorandi, Lives of Eminent Philosophers, Cambridge Univ ersity Press, 2013 = #Dor
Graziano Arrighetti, Epicuro. Opere, Nuova edizione riveduta e ampliata, Turin, Giulio Einaudi Editore, 1973 = #Arr

Voir description détaillée de l'édition : CIRIS
Notice créée par Julie Giovacchini Notice créée le 23/11/2021 Dernière modification le 30/05/2022

---

σεις, καὶ κατὰ παρατρίψεις νεφῶν καὶ τάσεις πῆξιν εἰληφότων κρυσταλλοειδῆ· καὶ τὸ ὅλον καὶ τοῦτο τὸ μέρος
101 πλεοναχῶς γίνεσθαι λέγειν ἐκκαλεῖται τὰ φαινόμενα. Καὶ ἀστραπαὶ δ' ὡσαύτως γίνονται κατὰ πλείους τρόπους· καὶ γὰρ κατὰ παράτριψιν καὶ σύγκρουσιν νεφῶν ὁ πυρὸς ἀποτελεστικὸς σχηματισμὸς ἐξολισθαίνων ἀστραπὴν γεννᾷ· καὶ κατ' ἐκριπισμὸν ἐκ τῶν νεφῶν ὑπὸ πνευμάτων τῶν τοιούτων σωμάτων ἃ τὴν λαμπηδόνα ταύτην παρασκευάζει, καὶ κατ' ἐκπιασμόν, θλίψεως τῶν νεφῶν γινομένης εἴθ' ὑπ' ἀλλήλων εἴθ' ὑπὸ πνευμάτων· καὶ κατ' ἐμπερίληψιν δὲ τοῦ ἀπὸ τῶν ἄστρων κατεσπειραμένου φωτός, εἶτα συνελαυνομένου ὑπὸ τῆς κινήσεως νεφῶν τε καὶ πνευμάτων καὶ διεκπίπτοντος διὰ τῶν νεφῶν· ἢ κατὰ διήθησιν ⟨διὰ⟩ τῶν νεφῶν τοῦ λεπτομερεστάτου φωτὸς καὶ τὴν τούτου κίνησιν· καὶ κατὰ τὴν τοῦ πνεύματος ἐκπύρωσιν τὴν γινομένην διά τε συντονίαν φορᾶς καὶ διὰ

6 περὶ ἀστραπῆς RVBRICA F

14 φωτός· ἢ ἀπὸ τοῦ πυρὸς νέφη συνεφλέχθαι καὶ τὰς βροντὰς ἀποτελεῖσθαι ADDITAMENTVM

1 καὶ ante κατὰ om f | περιτρίψεις H¹ | νεφῶν BP¹Q: δὲ νεφῶν FHP²f | τάξεις BHPQ διαστάσεις F κατάξεις f | πῖξιν H¹ || 2 κρυσταλοειδῆ FHf | τὸ ὅλον prosodia erasa P || 3 πλεοναχῶς om Ff | ἐγκαλεῖται H¹ || 4 ὡς αὔτως F(P¹) | γίνεται H¹ || 5 περίτριψιν H¹ | καὶ] fort. ἢ || 6 ἐξόλισθαίνων P ἀπολισθαίνων F || 7 ἐκβιπισμόν B¹P¹Q ἐκριπισμῶν H¹ | τῶν τοιούτων σωμάτων om Ff, τῶν om Hs || 9 κατ' ἐπασμὸν f | ἐκπιεσμὸν Gassendus || 10 κατὰ περίληψιν Hs || 11 ἀπὸ] ὑπὸ F | κατεσπαρμένου ci. Schneiderus || 13 post νεφῶν locum circiter XV litter. erasum habet F || 14 διὰ interposui | λεπτοστάτου F¹ || 15 prius καὶ] καὶ κατὰ libri, nisi quis forte post φωτός hiare orationem statuet | τοῦ om Ff || 16 συντονίαν ex συμφονίαν corr B συντονίας F | φωρᾶς B

18 νέφει H¹ | συνειλέχθαι libri, augmentum non dubitavi perfecto praesertim rarissimo restituere, ut Seleucus Athenaei XV p. 699ᵃ ἐθλασμένον dixit et Crobylus com. gr. IV p. 566 haud scio an non τέθλιφε quod Herwerdenus feliciter eruit sed cum crasi scripserit ἡ τοῦ βίου ὑτρότης με τοῦ σοῦ ἔθλιφε

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

Ταῦτα δὴ πάντα, Πυθόκλεις, μνημόνευσον· κατὰ πολύ τε γὰρ τοῦ μύθου ἐκβήσῃ καὶ τὰ ὁμογενῆ τούτοις συνορᾶν δυνήσῃ. μάλιστα δὲ σεαυτὸν ἀπόδος εἰς τὴν τῶν ἀρχῶν καὶ ἀπειρίας καὶ τῶν συγγενῶν τούτοις θεωρίαν, ἔτι δὲ κριτηρίων καὶ παθῶν, καὶ οὗ ἕνεκεν ταῦτα ἐκλογιζόμεθα. ταῦτα γὰρ μάλιστα συνθεωρούμενα ῥᾳδίως τὰς περὶ τῶν κατὰ μέρος αἰτίας συνορᾶν ποιήσει. οἱ δὲ ταῦτα μὴ καταγαπήσαντες ᾗ μάλιστα οὔτ' ⟨ἂν⟩ αὐτὰ ταῦτα καλῶς συνθεωρήσαιεν οὔτε οὗ ἕνεκεν δεῖ θεωρεῖν ταῦτα περιεποιήσαντο.

---

10 περιεποιήσαντο. Ταῦτα αὐτῷ καὶ περὶ τῶν μετεώρων δοκεῖ LAERTIVS DIOGENES

1 πάντα δὴ ταῦτα F | πειθόκλεις HPQ πιθοκλεῖς B ‖ 2 συνωρᾶν P¹ ‖ 3 δυνήσ[η] B | μάλιστα] μᾶλλον Ff, γρ P² | δέ om B | σὲ αὐτὸν BH σεαυτῷ Ff | ἀπόδ[ος εἰς] sscr γρ ἀποδῶσιν P² ἀποδώσεις Ff | τὴν om H ‖ 5 ἔτι … παθῶν om F¹f, supplet mg F | δέ] γέ F ‖ 6 ῥαδίας HP¹Q | τάς περὶ … 7 μέρος iterat F ‖ 7 οἱ δὴ H¹ ‖ 8 ᾗ Kuehnius: ἢ libri | οὔτ' ἄν] οὔτε BHPQf ἢ F
11 τῶν om Ff.

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

Οἱ λεγόμενοι ἀστέρες ἐκπίπτειν καὶ παρὰ μέρος κατὰ παράτριψιν νεφῶν δύνανται συντελεῖσθαι καὶ πυρὸς ἔκπτωσιν οὗ ἂν ἡ ἐκπνευμάτωσις γένηται, καθά περ καὶ ἐπὶ τῶν ἀστραπῶν ἐλέγομεν· καὶ κατὰ σύνοδον δὲ ἀτόμων 115
πυρὸς ἀποτελεστικῶν, συμφυλίας γενομένης εἰς τὸ τοῦτο τελέσαι, καὶ κίνησιν οὗ ἂν ἡ ὁρμὴ ἐξ ἀρχῆς κατὰ τὴν σύνοδον γένηται· καὶ κατὰ πνεύματος δὲ συλλογὴν ἐν πυκνώμασί τισιν ὁμιχλοειδέσι καὶ ἐκπύρωσιν τούτου διὰ τὴν κατείλησιν, εἶτ' ἐπέκρηξιν τῶν περιεχόντων, καὶ ἐφ' ὃν ἂν τόπον ἡ ὁρμὴ γένηται τῆς φορᾶς, εἰς τοῦτον φερομένου. καὶ ἄλλοι δὲ τρόποι εἰς τὸ τοῦτο τελέσαι ἀνύσιμοί εἰσιν.

Αἱ δ' ἐπισημασίαι αἱ γινόμεναι ἐπί τισι ζῴοις κατὰ συγκύρημα γίνονται τοῦ καιροῦ. οὐ γὰρ τὰ ζῷα ἀνάγκην τινὰ προσφέρεται τοῦ ἀποτελεσθῆναι χειμῶνα, οὐδὲ κάθηταί τις θεία φύσις παρατηροῦσα τὰς τῶν ζῴων τούτων ἐξόδους κἄπειτα τὰς ἐπισημασίας ταύτας ἐπιτελεῖ· οὐδὲ 116
γὰρ εἰς τὸ τυχὸν ζῷον κἂν ⟨εἰ⟩ μικρὸν χαριέστερον εἴη, τοιαύτη μωρία ἐμπέσοι, μὴ ὅτι εἰς παντελῆ εὐδαιμονίαν κεκτημένον.

---

1 περὶ ἀστέρων ἐκπιπτόντων RVBRICA F
13 περὶ σημασίας ζώων τινῶν RVBRICA F

1 κατὰ παράτριψιν] καὶ παρὰ τρίψιν libri || 2 νεφῶν] ἑαυτῶν libri | δύναται BP¹Q | πυρὸς] παρὰ libri || 3 ἡ] ἢ F | γίνεται Ff || 4 ἀστραπῶν] ἀστέρων F¹ | ἐλέγομεν p. 45, 5 || 5 συμφυλίας H²PQ: συμφιλίας FH¹f σ[υμ]φιλίας B || 6 καὶ] καὶ κατὰ libri | οὗ] an οἷ? | ἐξ ἀρχῆς post σύνοδον traiciunt Ff || 8 τισίν f: τισὶ ἐν B τισὶν ἐν ceteri | καὶ] κατ' libri | τούτων libri || 9 τὴν κατάλυσιν f | εἶτ' Ff: εἶτ' HPQ εἶτε B | ἐπέκρηξιν FHP ἐπεκρῆξιν f ἐπ' ἔκριξιν B ἐπέκρηψιν Q. fort. ἔκρηξιν | ante καὶ intercidit participium quale ἐκπίπτοντος || 10 ὃν] ὧν F | φορᾶς F | φερομένης libri | 11 εἰς τὸ] εἰς BP¹Q | ἀμύθητοί libri || 14 γίνεται F | οὐ] καὶ F | 15 χειμόνα B || 16 περιτηροῦσα H¹ || 17 τὰς σημασίας F | ἀποτελεῖ f || 18 κἂν εἰ] κἂν libri | μικρὸν F: μικρῷ ceteri | εἴη B: ἢ ἡ FP²Qf ἢ ἢ H || 19 ἐμπέσοι] ἐκπέσῃ libri || 20 κεκτημένου H

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

Τινὰ τῶν ἄστρων πλανᾶσθαι, εἰ οὕτω ταῖς κινήσεσι
113 χρώμενα συμβαίνει, τινὰ δ' ὁμαλῶς κινεῖσθαι ἐνδέχεται
μὲν καὶ παρὰ τὸ κύκλῳ κινούμενα ἐξ ἀρχῆς οὕτω κατη-
ναγκάσθαι, ὥστε τὰ μὲν κατὰ τὴν αὐτὴν δίνην φέρεσθαι
ὁμαλῆ οὖσαν, τὰ δὲ κατά τινα δίνησιν ἀνωμαλίαις χρω-
μένην· ἐνδέχεται δὲ καὶ καθ' οὓς τόπους φέρεται οὗ μὲν
παρεκτάσεις ἀέρος εἶναι ὁμαλεῖς ἐπὶ τὸ αὐτὸ συνωθούσας
κατὰ τὸ ἑξῆς ὁμαλῶς τε ἐκκαούσας, οὗ δὲ ἀνωμαλεῖς
οὕτως ὥστε τὰς θεωρουμένας παραλλαγὰς συντελεῖσθαι.
τὸ δὲ μίαν αἰτίαν τούτων ἀποδιδόναι, πλεοναχῶς τῶν
φαινομένων ἐκκαλουμένων, μανικὸν καὶ οὐ καθηκόντως
πραττόμενον ὑπὸ τῶν τὴν ματαίαν ἀστρολογίαν ἐζηλω-
κότων καὶ εἰς τὸ κενὸν αἰτίας ἄστρων ἀποδιδόντων, ὅταν
114 τὴν θείαν φύσιν μηθαμῇ λειτουργιῶν ἀπολύωσι. Τινὰ
ἄστρα ὑπολειπόμενα τινῶν θεωρεῖσθαι συμβαίνει καὶ πα-
ρὰ τὸ βραδύτερον συμπεριφέρεσθαι τὸν αὐτὸν κύκλον
περιιόντα, καὶ παρὰ τὸ τὴν ἐναντίαν κινεῖσθαι ἀντισπώ-
μενα ὑπὸ τοιαύτης δίνης· καὶ παρὰ τὸ περιφέρεσθαι τὰ
μὲν διὰ πλείονος τόπου, τὰ δὲ δι' ἐλάττονος, τὴν αὐτὴν
δίνην περικυκλοῦντα. τὸ δὲ ἁπλῶς ἀποφαίνεσθαι περὶ
τούτων καθῆκόν ἐστι τοῖς τερατεύεσθαί τι πρὸς τοὺς
πολλοὺς βουλομένοις.

1 τίνα B | οὔτως F ‖ 2 συμβαίνει F$P^{2}$f et probabiliter $H^{1}$: συμβαίνειν reliqui | δ' ὁμαλῶς] δὲ μὴ libri ‖ 3 τὸ F τ[ὸ] B: τῷ PQf τῶν male intellecta codicis P nota H | οὔτ[ω] $P^{2}$ | κατηνάγκασθαι B καταναγκάσθαι F ‖ 4 δίναν $P^{1}$Q δ[ί]ναν B ‖ 5 ὁμαλὴν libri | κατὰ τὴν ἅμα τισὶν libri | ἀνομαλίαις BF | χρωμένη[ν] B ‖ 6 τρόπους f | οὗ μὲν B: οὐ μὲν PQ$H^{2}$ οὐ F$H^{1}$f ‖ 7 εἶναι] γίνεσθαι F | ὁμαλεῖς B$P^{1}$Q et mg P: ὁμαλὰς FH$P^{2}$f ‖ 8 τε] τὰς f | οὗ δὲ BF: οὐδὲ ceteri | ἀνομαλεῖς $B^{1}$ ἀνωμαλῶς H ‖ 11 καθήκοντος B ‖ 12 ἐζηλοκότων BFH($P^{1}$) ‖ 13 καὶ om F | κοινὸν $H^{1}$ | ἄστρων] τινῶν libri ‖ 14 μηθαμῇ B$P^{1}$Q: μηδαμῇ H$P^{2}$ μηδ[αμ]ῇ F μηδαμῇ f | ἀπο[λ]ύωσι B ἀπολάβωσι f ‖ 15 ἀπολειπόμενα H$P^{2}$f | παρὰ] περὶ $H^{1}$ ‖ 17 περιιόντα f: περιόντα libri, sed π[ερι]όντα F | παρὰ] ερὶ sscr. $H^{2}$ ‖ 18 τοιαύτης] τῆς αὐτῆς libri | δ[ί]νης B | π[ερι]φέρεσθαι F ‖ 19 διὰ πέωνος B ‖ 20 δίναν $P^{1}$Q δ[ί]να B

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

μέρη τινὰ ἤτοι ἔξωθεν βιασαμένου τινὸς ῥεύματος ἢ τῆς θερμασίας ἐπιτηδείων πόρων ἐπιλαμβανομένης εἰς τὸ τοῦτο ἀπεργάσασθαι.

Κομῆται ἀστέρες γίνονται ἤτοι πυρὸς ἐν τόποις τισὶ διὰ χρόνων τινῶν ἐν τοῖς μετεώροις συντρεφομένου περιστάσεως γινομένης, ἢ ἰδίαν τινὰ κίνησιν διὰ χρόνων τοῦ οὐρανοῦ ἴσχοντος ὑπὲρ ἡμᾶς, ὥστε τὰ τοιαῦτα ἄστρα ἀναφανῆναι [ἢ αὐτὰ ἐν χρόνοις τισὶν ὁρμῆσαι διά τινα περίστασιν καὶ εἰς τοὺς καθ' ἡμᾶς τόπους ἐλθεῖν καὶ ἐκφανῆ γενέσθαι. τήν τε ἀφάνισιν τούτων γίνεσθαι παρὰ τὰς ἀντικειμένας ταύταις αἰτίας].

Τινὰ ἄστρα στρέφεσθαι αὐτοῦ συμβαίνει οὐ μόνον 112
τῷ τὸ μέρος τοῦτο τοῦ κόσμου ἑστάναι, περὶ ὃ τὸ λοιπὸν στρέφεται, καθά περ τινές φασιν, ἀλλὰ καὶ τῷ δίνην ἀέρος ἔγκυκλον αὐτῷ περιεστάναι, ἣ κωλυτικὴ γίνεται τοῦ περιπολεῖν ὡς καὶ τὰ ἄλλα· ἢ καὶ διὰ τὸ ἑξῆς μὲν αὐτοῖς ὕλην ἐπιτηδείαν μὴ εἶναι, ἐν δὲ τούτῳ τῷ τόπῳ ἐν ᾧ κείμενα θεωρεῖται. καὶ κατ' ἄλλους δὲ πλείονας τρόπους τοῦτο δυνατὸν συντελεῖσθαι, ἐάν τις δύνηται τὸ σύμφωνον τοῖς φαινομένοις συλλογίζεσθαι.

4 περὶ κομήτων ἀστέρων RVBRICA F

1 ἔξω βεβιασμένου P¹ ἔξωθεν βιασμένου H ‖ 6 ἢ om Ff | χρόνον BH ‖ 8 ἢ αὐτὰ .... 10 γενέσθαι: eadem ratio proponitur quae supra u. 4—6. dissonam structuram etiam proxima sententia prae se fert. ceterum totum hunc de cometis locum post p. 53, 22 conlocari oportuit, cf. praefatio ‖ 10 ἀφάνησιν Bf | παρὰ in ras. P² παρα Q ‖ 11 τὰς ἀντικειμένας] παραστάντι κειμέναις B(P¹)Q, sed κειμέν[αις] ex -ας corr. B² τὰς ἀντικειμένα•ς P² ‖ 12 τινὰ (τίνα sic H) ἀναστρέφεται libri. Homericum Σ 488 ἄρκτον ... ἥ τ' αὐτοῦ στρέφεται exprimit | αὐτοῦ] αὐτοῦ ὃ libri ‖ 13 τὰ λοιπὰ Schneiderus ‖ 14 στρέφεται] ἀναστρέφεται HP²κ ἀναγράφεται f | τ[ῷ] ex τὸ corr B | δίνην F¹ δ[ί]ν[η]ν B δίνιν P¹ ‖ 15 ἔνκυκλον B ἐ•κυκλον P¹ ἔκκυκλον Q | ἣ ex ἢ corr H | κω[λυτηκὴ] H | τοῦ] τῷ H¹ ‖ 16 καὶ ante διὰ om F | αὐτοῖς] αὐτῆς H²f ‖ 18 δὲ om f ‖ 19 δύναται F

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

Ἶρις γίνεται κατὰ πρόσλαμψιν τοῦ ἡλίου πρὸς ἀέρα ὑδατοειδῆ· ἢ κατὰ κρᾶσιν ἰδίαν τοῦ τε φωτὸς καὶ τοῦ ἀέρος, ἣ τὰ τῶν χρωμάτων τούτων ἰδιώματα ποιήσει εἴ τε πάντα εἴ τε μονοειδῶς· ἀφ' οὗ πάλιν ἀπολάμποντος τὰ ὁμοροῦντα τοῦ ἀέρος χρῶσιν τοιαύτην λήψεται, οἵαν
110 θεωροῦμεν, κατὰ πρόσλαμψιν πρὸς τὰ μέρη. Τὸ δὲ τῆς περιφερείας τοῦτο φάντασμα γίνεται διὰ τὸ τὸ διάστημα πάντοθεν ἴσον ὑπὸ τῆς ὄψεως θεωρεῖσθαι, ἢ σύνωσιν τοιαύτην λαμβανουσῶν τῶν ἐν τῷ ἀέρι ἀτόμων ἢ ἐν τοῖς νέφεσιν ἀπὸ τοῦ ἡλίου ἀποφερομένων περιφέρειάν τινα καθίεσθαι τὴν σύγκρισιν ταύτην.

Ἅλως περὶ τὴν σελήνην γίνεται καὶ πάντοθεν ἀέρος προσφερομένου πρὸς τὴν σελήνην ἢ τὰ ἀπ' αὐτῆς ῥεύματα ἀποφερόμενα ὁμαλῶς ἀναστέλλοντος ἐπὶ τοσοῦτον ἐφ' ὅσον κύκλῳ περιστῆσαι εἰς τὸ νεφοειδὲς τοῦτο καὶ μὴ τὸ παράπαν διακρῖναι, ἢ καὶ τὸν πέριξ ἀέρα αὐτῆς ἀναστέλλοντος συμμέτρως πάντοθεν εἰς τὸ περιφερὲς τὸ
111 περὶ αὐτὴν καὶ παχυμερὲς περιστῆσαι. ὃ γίνεται κατὰ

---

1 περὶ ἴριδος RVBRICA F
10 ἀποφερομένων ἀτόμων EMENDATA LECTIO u. 9 τομῶν|

1 ἴρις P | κατὰ . . . 2 ἢ om f: add. Sambucus | τοῦ F: ὑπὸ τοῦ reliqui || 2 κατὰ κρᾶσιν] κατ' (κατὰ H om f) ἀέρος φύσιν libri || 3 ἣ] ἡ BHf | τούτου f || 5 χρῦσιν f | τοιαύτην] ταῦτα Ff, γρ mg $P^2$ ταύτην ceteri | οἷον f || 6 τὸ Gassendus: τὰ libri || 7 τὸ τὸ] τὸ τοῦ B τὸ f || 8 ἴσον $BP^1$ || 9 ἀτόμων Meibomius: τομῶν libri, sed cf. l. 20 || 10 ἡλίου] αὐτοῦ ἀέρος (hoc u. om $B^1$) προσφερομένου πρὸς τὴν σελήνην libri. uerba male ex u. 12 sq. praerepta deleui praeeunte CFHermanno *ztschr. f. d. alterthumsw.* 1834 p. 111 | ἀποφερομένων . . . . 12 πάντοθεν om Ff: restituit Sambucus || 11 καθεῖσθαι libri καθέσθαι s: corr. Meibomius | τὴν B: εἰς τὴν H PQs || 12 ἅλως $P^1$Q: ἄλως B ἄλλως $HP^1$s | περὶ] κατὰ B | καὶ] καὶ κατὰ libri || 14 ὁμαλῶς] ὁμαλῶς καὶ F | ἀναστέλλοντα libri: corr. Meibomius || 15 περιστῆσαι εἰς] περὶ τῆς εἰς libri περιστήσῃ Meibomius | καὶ om F || 16 τοπαράπαν $P^3$ | διακρίνῃ libri | αὐτῆς ἀέρα B || 17 περιφερὲς et παχυμερὲς praedicantur

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

πῆξιν εἰληφότων ἀπόπαλσιν ἂν λαμβάνοι τὸ τῆς χιόνος τοῦτο ἄθροισμα. καὶ κατ' ἄλλους δὲ τρόπους ἐνδέχεται χιόνα συντελεῖσθαι.

Δρόσος συντελεῖται καὶ κατὰ σύνοδον πρὸς ἄλληλα ἐκ τοῦ ἀέρος τῶν τοιούτων, ἃ τῆς τοιαύτης ὑγρασίας ἀποτελεστικὰ γίνεται· καὶ κατὰ φορὰν δὲ ἢ ἀπὸ νοτερῶν τόπων ἢ ὕδατα κεκτημένων, ἐν οἵοις τόποις μάλιστα δρόσος συντελεῖται, εἶτα σύνοδον τούτων εἰς τὸ αὐτὸ λαβόντων καὶ ἀποτέλεσιν ὑγρασίας καὶ πάλιν φορὰν ἐπὶ τοὺς κάτω τόπους, καθά περ ὁμοίως καὶ παρ' ἡμῖν ἐπὶ πλεόνων τοιαῦτά τινα ⟨συντελούμενα θεωρεῖται. Καὶ πάχνη 109 δὲ οὐ διαφερόντως⟩ συντελεῖται τῶν δρόσων, τοιούτων τινῶν πῆξίν τινα ποιὰν λαβόντων διὰ περίστασίν τινα ἀέρος ψυχροῦ.

Κρύσταλλος συντελεῖται καὶ κατ' ἔκθλιψιν μὲν τοῦ περιφεροῦς σχηματισμοῦ ἐκ τοῦ ὕδατος, σύνωσιν δὲ τῶν σκαληνῶν καὶ ὀξυγωνίων τῶν ἐν τῷ ὕδατι ὑπαρχόντων· καὶ κατὰ ἔξωθεν δὲ τῶν τοιούτων πρόσκρισιν, ἃ συνελαθέντα πῆξιν τῷ ὕδατι παρεσκεύασε, ποσὰ τῶν περιφερῶν ἐκθλίψαντα.

4 περὶ δρόσου RVBRICA F

1 πῆξιν εἰληφότων om f | ἂν λαμβάνοι τὸ Schneiderus: ἀναλαμβάνοιτο Q ἀναλαμβάνοι (-βάνει H[1]f) τὸ reliqui || 2 τοῦτο] τοῦτο τὸ F || 3 χίονα F || 4 δρόσος συντελεῖται supplet mg H | καὶ om F || 6 ἀποτελετικὰ f συντελεστικὰ F | καὶ καταφορὰν BQ | ἀπονωτέρων Ff || 7 post τόπων uocabulum erasum P | οἵοις] τοῖς libri οἷς Kuehnius || 10 ἐπὶ . . 11 τινα om F || 11 πλεόνων HPQf: πλειόνων B | συντελούμενα .... 12 διαφερόντως suppleui exempli caussa: πάχνη δὲ συντελεῖται addiderat Gassendus || 12 συντελεῖται post 11 πλεόνων traicit f | τῶν .... 14 ψυχροῦ in mg suppleuit F | τοιούτων τινῶν] τούτων τινὰ B τούτων //////// P: τούτων reliqui || 13 ποιὰν et postea τινα om F || 15 κρύσταλλος συντελεῖται post 16 ὕδατος collocat F | κρύσταλος Qf | καὶ κατέκθλιψιν FP[1] | μὲν om F || 17 ὀξυτονίων B || 18 κατὰ] κατὰ τὴν Schneiderus | συνελασθέ[ντα] B[2] συντελεσθέντα F συνελασθέντα reliqui: corr. Gassendus || 19 πόσα B

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

καὶ ⟨κατὰ⟩ πῆξιν μετριωτέραν ὑδατοειδῶν τινων, ⟨πνευματωδῶν δέ τινων⟩ ὁμούρησιν ἅμα τήν τε σύνωσιν αὐτῶν ποιουμένην καὶ τὴν διαρρηξιν πρὸς τὸ κατὰ μέρη συνί-
107 στασθαι πηγνύμενα καὶ κατὰ ἀθροότητα. ἡ δὲ περιφέρεια οὐκ ἀδυνάτως μὲν ἔχει γίνεσθαι πάντοθεν τῶν ἄκρων ἀποτηκομένων καὶ ἐν τῇ συστάσει πάντοθεν, ὡς λέγεται, κατὰ μέρη ὁμαλῶς περιισταμένων εἴ τε ὑδατοποιῶν τινων εἴ τε πνευματωδῶν.

Χιόνα δὲ ἐνδέχεται συντελεῖσθαι καὶ ὕδατος λεπτοῦ ἐκχεομένου ἐκ τῶν νεφῶν διὰ πόρων συμμετρίας καὶ θλίψεις ἐπιτηδείων νεφῶν ὑπὸ πνευμάτων σφοδράς, εἶτα τούτου πῆξιν ἐν τῇ φορᾷ λαμβάνοντος διά τινα ἰσχυρὰν ἐν τοῖς κατωτέρῳ τόποις τῶν νεφῶν ψυχρασίας περίστασιν. καὶ κατὰ πῆξιν δ' ἐν τοῖς νέφεσιν ὁμαλῆ ἀραιότητα ἔχουσιν τοιαύτη πρόεσις ἐκ τῶν νεφῶν γίνοιτο ἂν πρὸς ἄλληλα θλιβομένων ⟨τῶν⟩ ὑδατοειδῶν καὶ συμπαρακειμένων· ἃ οἱονεὶ σύνωσιν ποιούμενα χάλαζαν ἀποτελεῖ, ὃ
108 μάλιστα γίνεται ἐν τῷ ἔαρι. καὶ κατὰ τρῖψιν δὲ νεφῶν

9 περὶ χιόνος RVBRICA F

1 κατὰ Meibomius inseruit | πῆξιν Hs: τῆξιν BFPQ | μετριοτέραν P μετριοτέρων Q μετριωτέρων H[1] | πνευματωδῶν δὲ τινῶν restitui || 2 ὁμούρησιν] ὁμοῦ ῥῆξιν libri || 3 τὴν om f | διάρηξιν P[1]Q | μέρ[η] BP[1] || 4 ἀθρότητα libri: corr. GHermannus || 5 μὲν om F || 6 ἀποτικομένων B ἀποπικομένων HPQ ἀποπυκνουμένων F om f: corr. Sambucus || 7 κατὰ Aldobrandinus: καὶ τὰ libri | περισταμένων BHP[1]Q | ὑδατοποιῶν F: ὑδατοειδῶν reliqui || 10 διὰ πόρων Kuehnius: διαφόρων B διαφορῶν FPQf διαφόρῶν H | συμμετρίων F συμμετρίως f | θλίψεως libri || 11 νεφῶν καὶ ὑπὸ libri | ὑπὸ πνευμάτων Gassendus: ὑπομνήματος libri | σφοδράς] σποράς libri || 13 κατώτερον BHPQ κατωτάτοις Ff γρ mg P[1]: em. Cobetus || 14 δὲ ἐν B | ὁμαλῆ BP[1]Q: ὁμαλὴν ceteri | ἀραιότητα PQ ἀρεότητα B ὡραιότητα f || 15 ἔχουσαν BQ et fort. P[1] ἔχουσα reliqui: corr. Meibomius | τοιαύτη f: τοιαύτην libri | πρόεσις] προαίρεσις f προαίρε(σιν) F || 16 τῶν inserui || 17 ἃ οἱονεὶ] λεῖον εἰς B || 18 ἔαρι] ἀέρι libri. cf. Arist. meteor. I 12, 1 p. 347b 37 | καὶ om H[1]



Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

τῇ γῇ ἀπόληψιν καὶ παρὰ μικροὺς ὄγκους αὐτῆς παράθεσιν καὶ συνεχῆ κίνησιν, ὃ τὴν κράδανσιν τῇ γῇ παρασκευάζει. καὶ τὸ πνεῦμα τοῦτο ἢ ἔξωθεν ἐμπεριλαμβάνει ⟨ἢ⟩ ἐκ τοῦ πίπτειν † εἰς ἐδάφη εἰς ἀντροειδεῖς τόπους τῆς γῆς ἐκπνευματοῦντα τὸν ἐπειλημμένον ἀέρα. ⟨καὶ⟩ κατ' αὐτὴν δὲ τὴν διάδοσιν τῆς κινήσεως ἐκ τῶν πτώσεων ἐδαφῶν πολλῶν καὶ πάλιν ἀνταπόδοσιν, ὅταν πυκνώμασι σφοδροτέροις τῆς γῆς ἀπαντήσῃ, ἐνδέχεται σεισμοὺς ἀποτελεῖσθαι. καὶ κατ' ἄλλους δὲ πλείους τρόπους 106
τὰς κινήσεις ταύτας τῆς γῆς γίνεσθαι.

Τὰ δὲ πνεύματα συμβαίνει γίνεσθαι κατὰ χρόνον ἀλλοφυλίας τινὸς ἀεὶ καὶ κατὰ μικρὸν παρεισδυομένης, καὶ καθ' ὕδατος ἀφθόνου συλλογήν. τὰ δὲ λοιπὰ πνεύματα γίνεται καὶ ὀλίγων πεσόντων εἰς τὰ πολλὰ κοιλώματα, διαδόσεως τούτων γινομένης.

Χάλαζα συντελεῖται καὶ κατὰ πῆξιν ἰσχυροτέραν, πάντοθεν δὲ πνευματωδῶν περίστασιν τινῶν κᾶτα μέρισιν

---

16 περὶ χαλάζης RVBRICA F

1 fort. ἐναπόληψιν || 2 ὃ τὴν] ὅταν libri | κράδυνσιν mg B² κράδαστον B κραδαστὸν reliqui, etiam G κραδασμὸν Casaubonus: corr. GHermannus | παρασκευάζει F: παρασκευάζ[η] H² παρασκευάζῃ reliqui || 3 ἢ] ἣ F ἡ H | ἐμπεριλαμβάνῃ Bf || 4 ἢ suppleuit Meibomius. cf. Seneca quaest. nat. VI 20, 6 | εἰς] quale sit quod lateat, Seneca docet: quid lateat, haud facile dixeris. conicias εἴκοντα, ἐκλελυμένα alia | ἐδάφη BP¹Q: ἐδάφη ἢ ceteri || 5 ἐκπνευματοῦντα] ἐκ πνευμάτων libri | ἐπειλημμένον (P¹)Q mg P² ἐπιλημμένον B: πεπιλημένον FHP²f | καὶ κατ' αὐτὴν] κατὰ ταύτην libri || 6 τὴν ἀνάδοσιν F || 7 ἐ[δ]αφῶν P² | ἀνταποδίδωσιν libri: corr. Gassendus || 9 κατὰ P¹Q | δὲ τρόπους πλείονας Ff || 10 γίνεσθαι] deest δυνατόν || 11 πνεύματα] fort. πνεύματα ταῦτα. nam haec adduntur superiori de turbinibus loco | κατὰ χρόνον om Ff | ἀλλοφυλείας HQ ἀλλοφυλεῖας mg P² || 12 τιν[ὸ]ς H τινὰς mg P³ || 14 ὀλίγων Ff ὀλίγον reliqui. nondum emendatum || 15 διαδοσεως sine accentu P διαλώσεως B || 17 τινῶν ... p. 49, 1 ὑδατοειδῶν om f | κᾶτα μέρισιν] καὶ κατὰ μέρισιν libri, nisi quod καὶ καταμέρησιν F

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

πνευματωθέντος ἰσχυρότερον καὶ ῥήξαντος τὸ νέφος διὰ τὸ μὴ δύνασθαι ὑποχωρεῖν εἰς τὰ ἑξῆς, τῷ πίλησιν γίνε-
104 σθαι ἀεὶ πρὸς ἄλληλα. καὶ κατ᾽ ἄλλους δὲ τρόπους πλείονας ἐνδέχεται κεραυνοὺς ἀποτελεῖσθαι· μόνον ὁ μῦθος ἀπέστω· ἀπέσται δέ, ἐάν τις καλῶς τοῖς φαινομένοις ἀκολουθῶν περὶ τῶν ἀφανῶν σημειῶται.

Πρηστῆρας ἐνδέχεται γίνεσθαι καὶ κατὰ κάθεσιν νέφους εἰς τοὺς κάτω τόπους στυλοειδῶς ὑπὸ πνεύματος ἀθρόου ὠσθέντος καὶ διὰ τοῦ πνεύματος κύκλω φερομένου, ἅμα καὶ τὸ νέφος εἰς τὸ πλάγιον ὠθοῦντος τοῦ ἐκτὸς πνεύματος· καὶ κατὰ περίστασιν δὲ πνεύματος εἰς κύκλον, ἀέρος τινὸς ἐπισυνωθουμένου ἄνωθεν· καὶ ῥύσεως πολλῆς πνευμάτων γενομένης καὶ οὐ δυναμένης εἰς τὰ πλάγια διαρρυῆναι διὰ τὴν πέριξ τοῦ ἀέρος πίλησιν.
105 καὶ ἕως μὲν γῆς τοῦ πρηστῆρος καθιεμένου στρόβιλοι γίγνονται· ἕως δὲ θαλάττης δῖνοι ἀποτελοῦνται.

Σεισμοὺς ἐνδέχεται γίνεσθαι καὶ κατὰ πνεύματος ἐν

---

2 πίλησιν γίνεσθαι τὸ μὲν πολὺ πρὸς ὄρος τι ὑψηλόν, ἐν ᾧ μάλιστα κεραυνοὶ πίπτουσιν. ADNOTATVM ad p. 46, 18

16 γίγνονται· ὡς ἀναγκαίως ἡ ἀπογέννησις κατὰ τὴν δίνησιν τοῦ πνεύματος γίνεται SCHOLION ad u. 16 δῖνοι

17 περὶ σεισμῶν RVBRICA F

1 πνευματοθέντος B || 2 μὴ om f || 4 ἀποτελέσθαι B || 5 ἀπέσται] ἀπέστη H[1] ἀπέστω B | τις om B || 7 κάθεσιν] θέσιν F[1]H[1]f, γρ mg P[3] || 8 στυλοειδῶς] ἀλλοειδῶς libri. cf. Lucr. VI 426 et 433 *tamquam demissa columna*, Plinius n. h. II 134 || 9 ὠθέντος f | κύκλῳ] πολλοῦ libri. cf. infra l. 12 Aristoteles meteor. III 1, 3 p. 370ᵇ 22, 26 Lucret. VI 438 || 10 πλάγιον] πλησίον libri. cf. l. 14 et Arist. l. s. p. 370ᵇ 24 | ὠθέντος F[1] || 12 ῥήσεως H[1] ῥήξεως H[2]s || 13 γινομένης HQ | οὐ om F || 15 πριστῆρος F προστῆρος Q. fort. leg. πνεύματος | καθειμένου στρόβυλοι F || 16 γίγνονται B: γίνεται F γίνονται ceteri | δεινοὶ B || 17 καὶ κατὰ πνεύματος omissum addit mg H | καὶ ante κατὰ om f

20 ὡς ἂν καὶ ἡ libri, sed cum litura P | κίνησιν et 21 γίνηται libri | [κίνησιν τ]οῦ cum litura F

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

σφοδρὰν κατείλησιν· καὶ κατὰ ῥήξεις δὲ νεφῶν ὑπὸ πνευ- 102
μάτων ἔκπτωσίν τε πυρὸς ἀποτελεστικῶν ἀτόμων καὶ τὸ τῆς ἀστραπῆς φάντασμα ἀποτελουσῶν· καὶ κατ' ἄλλους δὲ πλείους τρόπους ῥᾳδίως ἔσται καθορᾶν ἐχόμενον ἀεὶ τῶν φαινομένων καὶ τὸ τούτοις ὅμοιον δυνάμενον συνθεωρεῖν. Προτερεῖ δὲ ἀστραπὴ βροντῆς ἐν τοιᾷδέ τινι περιστάσει νεφῶν καὶ διὰ τὸ ἅμα τῷ τὸ πνεῦμα ἐμπίπτειν ἐξωθεῖσθαι τὸν ἀστραπῆς ἀποτελεστικὸν σχηματισμόν, ὕστερον δὲ τὸ πνεῦμα ἀνειλούμενον τὸν βόμβον ἀποτελεῖν τοῦτον· καὶ κατ' ἔμπτωσιν δὲ ἀμφοτέρων ἅμα, τῷ τάχει συντονωτέρῳ κεχρῆσθαι πρὸς ἡμᾶς τὴν ἀστραπήν,
ὑστερεῖν δὲ τὴν βροντήν, καθά περ ἐπ' ἐνίων ἐξ ἀποστή- 103
ματος θεωρουμένων καὶ πληγάς τινας ποιουμένων. Κεραυνοὺς ἐνδέχεται γίνεσθαι καὶ κατὰ πλείονας πνευμάτων συλλογὰς καὶ κατείλησιν ἰσχυράν τε ἐκπύρωσιν· καὶ κατὰ ῥῆξιν μέρους καὶ ἔκπτωσιν ἰσχυροτέραν αὐτοῦ ἐπὶ τοὺς κάτω τόπους, τῆς ῥήξεως γινομένης διὰ τὸ τοὺς ἑξῆς τόπους πυκνοτέρους εἶναι διὰ πίλησιν νεφῶν· καὶ κατ' αὐτὴν δὲ τὴν τοῦ πυρὸς ἔκπτωσιν ἀνειλουμένου, καθὰ καὶ βροντὴν ἐνδέχεται γίνεσθαι, πλείονος γενομένου καὶ

1 καὶ καταρρήξεις FH ‖ 2 ἔκπτωσίν τε] ἔκπτωσιν τῶν libri | ἀπολεστικῶν $H^{1}$ ‖ 3 ἀπολουσῶν B ἀπολλουσῶν $P^{1}Q$ ‖ 4 τρόπους πλείους Q | ἀεὶ] καὶ libri ‖ 6 προτελεῖ Q sscr $H^{2}$ | ἀστραπὴ $H^{1}$ | τῆς βροντῆς B | τοιάδε H ‖ 7 διὰ τὸ ἅμα] διατόλμα $F^{1}f$ | τῷ] τὸ $B^{1}H^{1}$ ‖ 8 τῶν ἀστραπ[ῆς] H | ἀποτελεστικῶν σχηματισμῶν $H^{1}$ ‖ 9 ἀποτελεῖ H ‖ 10 κατέμπτωσιν B, s: κατ' ἔμπρωσιν PQ κατέμπρωσιν $FH^{2}$ κατέμπροσιν f κατεμβρωσιν $H^{1}$ ‖ 11 συντονοτέρω FQ | πρὸς] καθ' F ‖ 12 exspectes ἐπ' ἐνίων ⟨τῶν παρ' ἡμῖν⟩ ‖ 13 καὶ . . ποιουμένων omissa supplet mg H | ποιουμένων] γενομένων F ‖ 14 καὶ om f ‖ 15 συλλογῆς $H^{1}$ | κατείλησιν Ff κατέγλησιν B κατ' εἴλησιν HPQ | κατὰ ῥῆξιν BPQ: κατάρρηξιν ceteri et γρ mg $P^{2}$ ‖ 16 ἰσχυρωτέραν B ‖ 17 γ[ι]•νομένης F ‖ 18 διὰ πίλησιν $P^{2}$Qf, mg H: διὰ πείλησιν B διαπείλησιν F δι' ἀπείλησιν $(P^{1})$H | νεφῶν $BP^{1}Q$: τῶν νεφῶν ceteri | καὶ κατὰ ταύτην δὲ libri ‖ 19 ἀνηλουμένου ut uidetur $B^{2}$ ‖ 20 ἐνδέχ[εται] B | γίνεσθαι post πλείονος traiciunt Ff | γινομένου F

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

## ΕΠΙΚΟΥΡΟΣ ΠΥΘΟΚΛΕΙ ΧΑΙΡΕΙΝ

84 Ἤνεγκέ μοι Κλέων ἐπιστολὴν παρὰ σοῦ, ἐν ᾗ φιλο-
φρονούμενός τε περὶ ἡμᾶς διετέλεις ἀξίως τῆς ἡμετέρας
περὶ σεαυτὸν σπουδῆς καὶ οὐκ ἀπιθάνως ἐπειρῶ μνημο-
νεύειν τῶν εἰς μακάριον βίον συντεινόντων διαλογισμῶν,
ἐδέου τε σεαυτῷ περὶ τῶν μετεώρων σύντομον καὶ εὐ-
περίγραφον διαλογισμὸν ἀποστεῖλαι, ἵνα ῥᾳδίως μνημο-
νεύῃς· τὰ γὰρ ἐν ἄλλοις ἡμῖν γεγραμμένα δυσμνημόνευτα
εἶναι, καί τοι, ὡς ἔφης, συνεχῶς αὐτὰ βαστάζοντι. ἡμεις
δὲ ἡδέως τε σοῦ τὴν δέησιν ἀπεδεξάμεθα καὶ ἐλπίσιν
85 ἡδείαις συνεσχέθημεν. γράψαντες οὖν τὰ λοιπὰ πάντα
συντελοῦμεν ἅπερ ἠξίωσας πολλοῖς καὶ ἄλλοις ἐσόμενα
χρήσιμα τὰ διαλογίσματα ταῦτα, καὶ μάλιστα τοῖς νεωστὶ
φυσιολογίας γνησίου γευομένοις καὶ τοῖς εἰς ἀσχολίας
βαθυτέρας τῶν ἐγκυκλίων τινὸς ἐμπεπλεγμένοις. καλῶς
δὴ αὐτὰ διάλαβε, καὶ διὰ μνήμης ἔχων ὀξέως αὐτὰ περι-
όδευε μετὰ τῶν λοιπῶν ὧν ἐν τῇ μικρᾷ ἐπιτομῇ πρὸς
Ἡρόδοτον ἀπεστείλαμεν.

1 ἐπιστολὴ ἐπικούρου mg F ‖ 2 περὶ σοῦ Q ‖ 3 τε ante περὶ om F ‖ 4 σὲ αὐτὸν B | ἀπειθάν·ως F ‖ 6 ἐδέ οὔτε cum ras. supra υ $P^1$ | σὲ αὐτῷ B om F | συν  καὶ cum fenestra Q | ἐνπερίγραφον f ‖ 7 ἀπο[στεῖλαι] $B^2$ | μνημονεύ[ῃς] H ‖ 9 [καί] τοι $P^3$ | βαστάζειν libri. βαστάζεις Casaubonus ‖ 10 τέ σου FHf ‖ 11 ἡδείαις] ἰδίαις F | συνεχέθημεν Q | λοιπὰ πάντα] fort. λείποντα ‖ 13 τ[ο]ῖς F ‖ 14 γεγευμένοις Ff | καὶ .... 15 ἐμπεπλεγμένοις omissa in mg. inferiore supplet F om f | τοῖς εἰς] τῆς F ‖ 16 διέ-λαβε Q | ἔχων] ἄγων F | περιώδευε F

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

τα οὐ μάχεται τοῖς φαινομένοις· ἐπὶ δὲ ποίοις παρὰ 99
τοῦτο ἢ τοῦτο τὸ αἴτιον γίνεται, οὐκ ἔστι συνιδεῖν.

Νέφη δύναται γίνεσθαι καὶ συνίστασθαι καὶ παρὰ
πιλήσεις ἀέρος καὶ παρὰ περιπλοκὰς ἀλληλούχων ἀτόμων
καὶ ἐπιτηδείων εἰς τὸ τοῦτο τελέσαι καὶ κατὰ ῥευμάτων
συλλογὴν ἀπό τε γῆς καὶ ὑδάτων· καὶ κατ' ἄλλους δὲ
τρόπους πλείους αἱ τῶν τοιούτων συστάσεις οὐκ ἀδυνα-
τοῦσι συντελεῖσθαι. Ἤδη δ' ἀπ' αὐτῶν ᾗ μὲν θλιβομένων,
ᾗ δὲ μεταβαλλόντων ὕδατα δύναται συντελεῖσθαι, ἔτι τε 100
πνευμάτων καταφορᾶ ἀπὸ ἐπιτηδείων τόπων δι' ἀέρος
κινουμένων, βιαιοτέρας ἐπαρδεύσεως γινομένης ἀπό τινων
ἀθροισμάτων ἐπιτηδείων εἰς τὰς τοιαύτας ἐπιπέμψεις.

Βροντὰς ἐνδέχεται γίνεσθαι καὶ κατὰ πνεύματος ἐν
τοῖς κοιλώμασι τῶν νεφῶν ἀνείλησιν, καθά περ ἐν τοῖς
ἡμετέροις ἀγγείοις, καὶ παρὰ πυρὸς πεπνευματωμένου
βόμβον ἐν αὐτοῖς, καὶ κατὰ ῥήξεις δὲ νεφῶν καὶ διασπά-

---

4 πιλήσεις ἀέρος· πνευμάτων συνώσεις GLOSSEMA
13 περὶ βροντῶν RVBRICA CODICIS F

1 οὐ infra uersum addit F | το[ῖς] F | ἐπὶ] ἔτι F$H^1P^2$f: ἤδη B($P^1$)Q sscr. $H^2$ | ποι[οῖς] $H^2$ | παρὰ τοῦτο in pagina noua iterauerat $P^1$ || 2 τούτου ἢ τούτου $H^1$ | τὸ om F | συνιδ[εῖν. ν]έφη B: συνιδεῖν ἔφη $P^1$Q συνιδεῖν ἐφ' ἧ reliqui || 3 δύναται post συνίστασθαι dant Ff | παρ[ὰ πιλ]ήσεις B, f: παραπειλήσεις ut uidetur $P^1$ παραπιλήσεις ceteri || 4 παραπεριπλοκὰς FP$H^2$Q παρεισπλοκὰς $H^1$ || 5 εἰς τοῦτο Ff || 7 πλείους . . . συστάσεις] τοιούτους αἱ τῶν πραγμάτων φαντασίαι F || 8 ἤδη δὲ B ἠδ' F | ἐπ' libri: corr. Kuehnius | αὐτὸν $H^1$ | ἡ—ἡ F$H^1P^2$: ἣ—ἣ reliqui || 9 μεταλαβόντων F | δύνανται f om FH | ἐπί τε Q || 10 πνεύματα κατὰ ἀποφορὰν ἀπὸ libri | δι' ἀέρος f: διαφόρων F καὶ δι' ἀέρος ceteri libri || 11 βιαιοτέρας] τοτέρας f | γενομένης H || 13 κατὰ om f || 14 ἀνεί[λ]ησιν B || 15 ἀγίοις καὶ περὶ $H^1$ | πνευματωμένου BH || 16 καὶ καταρρήξεις F | δὲ om F | διαστάσεις libri

17 post ἀέρος Meibomius ἤ, Kuehnius καὶ interpolauit | συνώσεως libri: corr. Meibomius

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

δὲ τὸ μάταιον ἐκπεσοῦσι τῷ καθ' ἕνα τρόπον μόνον οἴεσθαι γίνεσθαι, τοὺς δ' ἄλλους πάντας τοὺς κατὰ τὸ ἐνδεχόμενον ἐκβάλλειν εἴς τε τὸ ἀδιανόητον φερομένους καὶ τὰ φαινόμενα, ἃ δεῖ σημεῖα ἀποδέχεσθαι, μὴ δυναμένους συνθεωρεῖν.

98 Μήκη νυκτῶν καὶ ἡμερῶν παραλλάττοντα καὶ παρὰ τὸ ταχείας ἡλίου κινήσεις γίνεσθαι καὶ πάλιν βραδείας ὑπὲρ γῆς * * * ὡς καὶ παρ' ἡμῖν τινα θεωρεῖται, οἷς συμφώνως δεῖ λέγειν ἐπὶ τῶν μετεώρων. οἱ δὲ τὸ ἓν λαμβάνοντες τοῖς τε φαινομένοις μάχονται καὶ τοῦ ᾗ δυνατὸν ἀνθρώπῳ θεωρῆσαι διαπεπτώκασιν.

Ἐπισημασίαι δύνανται γίνεσθαι καὶ κατὰ συγκυρήσεις καιρῶν, καθά περ ἐν τοῖς ἐμφανέσι παρ' ἡμῖν ζῴοις, καὶ παρ' ἑτεροιώσεις ἀέρος καὶ μεταβολάς. ἀμφότερα γὰρ ταῦ-

---

8 ὑπὲρ γῆς· παρὰ τὸ μήκη τόπων παραλλάττειν, καὶ τόπους τινὰς περαιοῦν τάχιον ἢ βραδύτερον INTERPOLATA LECTIO u. 6 παρὰ ... 8 γῆς

1 ἐκπέσουσι B ἐκπεσούσῃ F | τῷ f: τὸ libri | μόνον post 2 γίνεσθαι traiciunt Ff || 2 δ' BPQ: δὲ FHf | ἅπαντας f om F | κατὰ τὸν $P^{1}$ || 4 ἃ δεῖ BP et ᾗ supra scripto H ἃ δὴ Q: δὴ Ff γρ φερόμενα δεῖ σημεῖα mg $P^{2}$ || 5 συνθεωρεῖν Meibomius: σὺν θεῷ χαίρειν libri || 8 hiat oratio. reliquas rationes a Lucretio V 696—704 memoratas primae rationis formula paullo accuratior sede mouit | παρὰ $BP^{1}Q$ | ἡμῖν ἢ βραδύτερόν τινα libri, uide adnot. ad u. 16 || 9 οἱ] εἰ H || 10 τοῦ] τὸ F | ᾗ] εἰ libri || 11 διαπεπτώκασι H || 12 ἐπὶ σημασία $P^{1}$ ἐπεὶ σημασίαι $P^{2}H$ ἐπεισημασίαι f | γίνεσθαι $BP^{1}Q$: γενέσθαι $PHP^{2}f$ | καὶ om B | συγκρίσεις $H^{1}f$ || 14 παρ' ἑτέροις ὡσεὶ (ὡς εἰ f) ἀέρος libri | μεταβολῆς libri: corr. Kuehnius

15 παρὰ libri sic sine coniunctione: ἢ Meibomius addebat | τὸ $FH^{2}PQf$: τῷ $BH^{1}$ τὰ Kuehnius | μήκει $B^{1}H$ | παραλλάττοντα libri, sed παραλλάττοντι $H^{1}$ || 16 περαιοῦντα libri | ἢ καὶ βραδύτερον Ff. hoc comma post 8 ἡμῖν libri omnes traiciunt, ut fit in glossematis ex mg inlapsis, ordinem restituit Gassendus

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

ἴχνευσιν οὐ προετέον. ἣν γάρ τις ᾖ μαχόμενος τοῖς ἐναργήμασιν, οὐδέποτε μὴ δυνήσεται ἀταραξίας γνησίου μεταλαβεῖν.

Ἔκλειψις ἡλίου καὶ σελήνης δύναται μὲν γίνεσθαι καὶ κατὰ σβέσιν, καθά περ καὶ παρ' ἡμῖν τοῦτο θεωρεῖται γινόμενον· καὶ ἤδη κατ' ἐπιπροσθέτησιν ἄλλων τινῶν, ἢ γῆς ἢ οὐρανοῦ ἤ τινος ἑτέρου τοιούτου. καὶ ὧδε τοὺς οἰκείους ἀλλήλοις τρόπους συνθεωρητέον, καὶ τὰς ἅμα συγκυρήσεις τινῶν ὅτι οὐκ ἀδύνατον γίνεσθαι. Ἔτι τε 97
τάξις περιόδου, καθά περ ἔνια καὶ παρ' ἡμῖν τῶν τυχόντων γίνεται, λαμβανέσθω· καὶ ἡ θεία φύσις πρὸς ταῦτα μηδαμῇ προσαγέσθω, ἀλλ' ἀλειτούργητος διατηρείσθω καὶ ἐν τῇ πάσῃ μακαριότητι. ὡς εἰ τοῦτο μὴ πραχθήσεται, ἅπασα ἡ τῶν μετεώρων αἰτιολογία ματαία ἔσται, καθά περ τισὶν ἤδη ἐγένετο οὐ δυνατοῦ τρόπου ἐφαψαμένοις, εἰς

---

9 γίνεσθαι. ἐν δὲ τῇ ιβ περὶ φύσεως ταὐτά λέγει καὶ πρός, ἥλιον ἐκλείπειν σελήνης ἐπισκοτούσης, σελήνην δὲ τοῦ τῆς γῆς σκιάσματος, ἀλλὰ καὶ κατ' ἀναχώρησιν. τοῦτο δὲ καὶ Διογένης ὁ Ἐπικούρειος ἐν τῇ ᾱ τῶν Ἐπιλέκτων. SCHOLION

1 ἰχνεύειν libri | προετέον BPQ, sscr. $H^2$: προσθετέον FHf, γρ $P^2$ | ἦν F | τις ᾖ] τίσιν $P^1$Q τίσι $P^2$ τισὶ reliqui | μαχομένοις BPQs, sscr. $H^2$ βαλλομένοις $FH^1$f, γρ $P^2$: corr. Gassendus ‖ 2 μὴ om Ff ‖ 4 ἐκλ[ειψι]ς $P^2$ ‖ 5 σβέσιν] de librorum HQ lectione cf. praefatio | καθάπερ $FP^1$f: καὶ καθάπερ reliqui | παρὰ B παρ• $P^1$ ‖ 6 ἤδη] δὴ καὶ Cobetus | ἐπιπροσθέτησιν F ἐπιπρόσθεσιν $BP^1$ ἐπιπρόσθεν Q ‖ 7 οὐρανοῦ] σελήνης coni. Woltjer de Lucr. philos. p. 135 ‖ 8 τρόπους θεωρητέον Ff ‖ 9 συγκυρήσεις $H^1$Q: συγκρίσεις reliqui | τινῶν om H ‖ 10 ἔνοια $F^1$ ‖ 11 θεία H ‖ 12 ἀλλὰ f ἀλλὰ καὶ F ‖ 13 εἰ] ἡ F ‖ 14 ἡ] περὶ f | αἰτιολογία $F^1$: ἀντιλογία reliqui | καθάπέρ τισιν FPf ‖ 15 ἐγίνετο $H^2P^2$f

16 ἐν . . . λέγει omissa in mg supplet F | δὲ om F | ιβ FHPQ: δωδεκάτῃ B δυοδεκάτῃ f | φύσιν $H^1$ | ταῦτα BFPQf ταύτην H ‖ 17 πρὸς BHPQ: τὸν πρὸς F τὸν f ‖ 18 καὶ κατ' FQ ($P^1$) καὶ κατὰ B: κατ' $HP^2$f ‖ 19 ἐπικούριος F ἐπίκουρος B | πρώτῃ B πρώτῳ f

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

στροφὴν τοῦ σώματος τούτου δύναιτ' ἂν γίνεσθαι καὶ κατὰ σχηματισμοὺς ἀέρος ὁμοίως, ἔτι τε καὶ κατ' ἐπιπροσθετήσεις καὶ κατὰ πάντας τρόπους, καθ' οὓς καὶ τὰ παρ' ἡμῖν φαινόμενα ἐκκαλεῖται εἰς τὰς τούτου τοῦ εἴδους ἀποδόσεις, ἐὰν μή τις τὸν μοναχῇ τρόπον κατηγαπηκὼς τοὺς ἄλλους κενῶς ἀποδοκιμάζῃ, οὐ τεθεωρηκὼς τί δυνατὸν ἀνθρώπῳ θεωρῆσαι καὶ τί ἀδύνατον, καὶ διὰ τοῦτο ἀδύνατα θεωρεῖν ἐπιθυμῶν. Ἔτι τε ἐνδέχεται τὴν σελήνην ἐξ ἑαυτῆς ἔχειν τὸ φῶς, ἐνδέχεται δὲ ἀπὸ τοῦ ἡλίου.
95 καὶ γὰρ παρ' ἡμῖν θεωρεῖται πολλὰ μὲν ἐξ ἑαυτῶν ἔχοντα, πολλὰ δὲ ἀφ' ἑτέρων. καὶ οὐθὲν ἐμποδοστατεῖ τῶν ἐν τοῖς μετεώροις φαινομένων, ἐάν τις τοῦ πλεοναχοῦ τρόπου ἀεὶ μνήμην ἔχῃ καὶ τὰς ἀκολούθους αὐτοῖς ὑποθέσεις ἅμα καὶ αἰτίας συνθεωρῇ καὶ μὴ ἀναβλέπων εἰς τὰ ἀνακόλουθα ταῦτ' ὀγκοῖ ματαίως καὶ καταρρέπῃ ἄλλοτε ἄλλως ἐπὶ τὸν μοναχὸν τρόπον. Ἡ δὲ ἔμφασις τοῦ προσώπου ἐν αὐτῇ δύναται μὲν γίνεσθαι καὶ κατὰ παραλλαγὴν μερῶν καὶ κατ' ἐπιπροσθέτησιν, καὶ ὅσοι ποτ' ἂν τρόποι θεωροῖντο τὸ σύμφωνον τοῖς φαινομένοις κεκτη-
96 μένοι. ἐπὶ πάντων γὰρ τῶν μετεώρων τὴν τοιαύτην

1 δύναιντ' Meibomius ‖ 2 καὶ κατὰ προσθετήσεις libri ‖ 4 ἐ[κ]καλεῖται cum rec. ras. B ἐκλαλεῖται Q | τὰς F | τούτου om F ‖ 5 κατ' ἀγαπηκὼς B καταγαπηκὼς P[1]Q ‖ 6 κενοὺς F unde ὡς κενούς Cobetus | ἀποδοκιμάζει F | οὔτε θεωρητικῶς (sed θεωρητικὼς B[1]) libri: corr. Cobetus | τι libri itemque u. 7 ‖ 8 ἀδύνατα etiam P[1]: ἃ δυνατὰ Q τὰ δυνατὰ P[2] | τὴν] immo μὲν τὴν ‖ 9 δὲ] δὲ καὶ Gassendus ‖ 10 ἑαυτὸν B ‖ 11 οὐδὲν Hf | ἐνποδοστατεῖ BP[1] | τῶν FHP[2]f: om BP[1]Q ‖ 13 τρόπου om F | ἔχει H | αὐτῆς H[1] αὐτῷ Gassendus ‖ 14 συνθεωρ[ῇ] P[2] συνθεωρεῖ BF | καὶ μὴ] καὶ μὴν Q μὴ f ‖ 15 ακόλουθ(α) sed ἀν supra scr. F | ταῦτ' ὀγκοῖ ματαίως B: ταυτὸν κυματαίως PQ ταὐτὸν κυματέον H ταυτὸν et sscr. κυματαίως F ταυτὰ f ταῦτα s | καταρρέπειν H[1] καταρρεπῆ FP[2]f ‖ 16 ἔμφασις FH[1]P[2]f ἔνφασις B: ἔκφασις H[2]Q et fort. P[1] ‖ 17 ἐν αὐτοῖς H | μὲν om F ‖ 18 μερῶν] ἡμερῶν F | ποτ'] πάντα libri ‖ 19 τρόπον Ff | θεωροῦντο HPQ | [φαι]νομένοις H ‖ 20 γὰρ om f

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

ἐκφάνειάν τε ὑπὲρ γῆς καὶ πάλιν ἐπιπροσθέτησιν τὸ προ-
ειρημένον δύναιτ' ἂν συντελεῖσθαι· οὐδὲ γάρ τι τῶν
φαινομένων ἀντιμαρτυρεῖ. Τάς τε κινήσεις αὐτῶν οὐκ
ἀδύνατον μὲν γίνεσθαι κατὰ τὴν τοῦ ὅλου οὐρανοῦ δίνην,
ἢ τούτου μὲν στάσιν, αὐτῶν δὲ δίνην κατὰ τὴν ἐξ ἀρχῆς
ἐν τῇ γενέσει τοῦ κόσμου ἀνάγκην ἀπογεννηθεῖσαν ἐπ'
ἀνατολῇ· * * * ⟨σφοδρο⟩τάτῃ θερμασίᾳ κατά τινα ἐπι- 93
νέμησιν τοῦ πυρὸς ἀεὶ ἐπὶ τοὺς ἑξῆς τόπους ἰόντος.
Τροπὰς ἡλίου καὶ σελήνης ἐνδέχεται μὲν γίνεσθαι κατὰ
λόξωσιν οὐρανοῦ οὕτω τοῖς χρόνοις κατηναγκασμένου·
ὁμοίως δὲ καὶ κατὰ ἀέρος ἀντέξωσιν ἢ καὶ ὕλης ἀεὶ ἐπι-
τηδείας ἐχομένως ἐμπιπραμένης, τῆς δ' ἐκλειπούσης· ἢ
καὶ ἐξ ἀρχῆς τοιαύτην δίνην κατειλῆφθαι τοῖς ἄστροις
τούτοις, ὥσθ' οἷόν τιν' ἕλικα κινεῖσθαι. πάντα γὰρ τὰ
τοιαῦτα καὶ τὰ τούτοις συγγενῆ οὐθενὶ τῶν ἐναργημάτων
διαφωνεῖ, ἐάν τις ἀεὶ ἐπὶ τῶν τοιούτων μερῶν ἐχόμενος
τοῦ δυνατοῦ εἰς τὸ σύμφωνον τοῖς φαινομένοις ἕκαστον
τούτων δύνηται ἐπάγειν, μὴ φοβούμενος τὰς ἀνδραποδώ-
δεις ἀστρολόγων τεχνιτείας.

Κένωσίς τε σελήνης καὶ πάλιν πλήρωσις καὶ κατὰ 94

1 ἐκφάνειάν BPQ: ἐμφάνειάν Hf, sscr. $P^2$ | ἐπιπροσθέτησιν Bf ἐπὶ προσθέτησιν HPQ || 2 οὐδὲ] οὐδέν f, γρ $P^2$ || 3 τάς τε] τάς F fortasse recte || 5 ἢ τούτου .... δίνην om Ff | στάσιν, αὐτῶν] αὐτῶν στάσιν $B^1P^1$ | ἐξ ἀρχῆς] ἀρχῆθεν F || 7 hiatum indicaui, cf. Lucr. v 519—525 | σφοδροτάτῃ exempli caussa dedi: τὰ (τα B) τῇ $BP^1$ εἰ τατῆ Q εἶτα τῆι F εἶτα τῇ reliqui | κατά τινα ἐπινέμησιν om Ff || 9 μὲν om F || 10 [λ]όξωσιν B || 11 ἢ καὶ] ἢ F | ἐπιτηδείως f || 12 ἐχομένοις BPQ sscr $H^2$ ἐχομένης FHf | ἐμπιπραμένης Hf καὶ ἐμπιπραμένης s ἐμπιπραμένοις FPQ sscr $H^2$: om B | δ' ἐκλειπούσης] δὲ καταλιπούσης libri | ἢ] ἢ Q || 13 κατει-ληθῆναι om Ff || 14 οἷόν τιν'] οἷον τε libri | ἕλικα] ἕνικα $F^1$ ἐν σοι κατα f || 15 οὐθὲν BPQf οὐδὲν FH || 16 αἰεὶ Ff || 18 ἐπά-γειν B: ἀπάγειν reliqui | ἀνδραπόδεις B || 19 ἀστρολόγων] τῶν ἀστρολόγων Ff | τεχνιτείας F τεχνιτίας B: τεχνητείας HPQf || 20 κενώσεις et πληρώσεις libri | πάλιν ἐμπληρώσεις F | καὶ κα-ταστροφὴν libri: corr. Gassendus

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

πνευματικῶν ἢ πυροειδῶν ἢ τὸ συναμφότερον· καὶ γὰρ
91 ταῦτα οὕτως ἡ αἴσθησις ὑποβάλλει. Τὸ δὲ μέγεθος ἡλίου τε ⟨καὶ σελήνης⟩ καὶ τῶν λοιπῶν ἄστρων κατὰ μὲν τὸ πρὸς ἡμᾶς τηλικοῦτόν ἐστιν ἡλίκον φαίνεται· κατὰ δὲ τὸ καθ' αὑτὸ ἤτοι μεῖζον τοῦ ὁρωμένου ἢ μικρῷ ἔλαττον ἢ τηλικοῦτον τυγχάνει· οὕτω γὰρ καὶ τὰ παρ' ἡμῖν πυρὰ ἐξ ἀποστήματος θεωρούμενα κατὰ τὴν αἴσθησιν θεωρεῖται. καὶ πᾶν δὲ τὸ εἰς τοῦτο τὸ μέρος ἔνστημα ῥᾳδίως διαλυθήσεται, ἐάν τις τοῖς ἐναργήμασι προσέχῃ, ὅ περ
92 ἐν τοῖς περὶ φύσεως βυβλίοις δείκνυμεν. Ἀνατολὰς καὶ δύσεις ἡλίου καὶ σελήνης καὶ τῶν λοιπῶν ἄστρων καὶ κατὰ ἄναψίν ⟨τε⟩ γενέσθαι δυνατὸν καὶ σβέσιν, τοιαύτης οὔσης περιστάσεως ὥστε τὰ προειρημένα ἀποτελεῖσθαι· οὐδὲν γὰρ τῶν φαινομένων ἀντιμαρτυρεῖ. ⟨καὶ⟩ κατ'

---

4 φαίνεται. τοῦτο καὶ ἐν τῇ ια περὶ φύσεως· 'Εἰ γάρ', φησί, 'τὸ μέγεθος διὰ τὸ διάστημα ἀπεβεβλήκει, πολλῷ μᾶλλον ἂν τὴν χρόαν. ἀλλ' οὐ γὰρ τούτῳ συμμετρότερον διάστημα οὐθέν ἐστι'. SCHOLION

13 περιστάσεως· καὶ καθ' ἑκατέρους τοὺς τρόπους ADDITAMENTVM ad p. 39, 10 — 40, 3

2 ἡλίου τε] τοῦ ἡλίου F || 3 καὶ σελήνης om libri | λοιπῶν om F | μὲν τὸ Schneiderus: μέντοι libri || 4 τοιοῦτον sed in mg corr. τηλικοῦτον F | ἡλίκον] οἷον F ἡλίκον ὁποῖον f | φαίνονται F || 5 καθ' αὑτὴν Q et fort. $P^1$ κατ' αὐτὸ $FH^1P^1f$ κατ' αὐτὸν $BH^2$ | ἢ μικρῷ ἔλαττον] ἤτοι ἔλαττον μικρῷ F ἢ ἔλαττον μικρῷ f || 6 τυγχάνει] οὐχ (ουχ' F) ἅμα libri. τυχὸν Lachmannus ad Lucr. p. 301 | πυρὰ f || 9 προσέχει B || 10 περὶ om B | βιβλίοις libri | καὶ δύσεις om F || 12 ἄναψιν libri: τε addidi | δυνατὸν] δύνασθαι libri | καὶ κατὰ σβέσιν libri || 14 οὐδὲ γὰρ B | καὶ κατ'] κατ' libri | κατ' .... p. 40, 3 ἀντιμαρτυρεῖ om F

15 ια libri ἑνδεκάτῃ f || 16 ἀποβεβλήκει libri || 17 ἂν om F ante μᾶλλον posuit f | ἀλλ' ... 18 ἐστι scholio Gassendus tribuit, epistulae Schneiderus adeoque Lachmannus l. s. | ἀλλ' οὐ] ἄλλο libri nisi quod ἄλλῳ B | τοῦτο F | συμμετρώτερον Bf συμμετρούμενον Lachmannus || 19 καὶ om f | ἑκατέρους BP. ἑτέρους FHQf, γρ mg $P^2$ | τόπους libri: corr. Meibomius

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

περ τινές φασίν, ἐπιτηδείων τινῶν σπερμάτων ῥυέντων
ἀφ' ἑνὸς κόσμου ἢ μετακοσμίου ἢ καὶ ἀπὸ πλειόνων κατὰ
μικρὸν προσθέσεις τε καὶ διαρθρώσεις καὶ μεταστάσεις
ποιούντων ἐπ' ἄλλον τόπον, ἐὰν οὕτω τύχῃ, καὶ ἐπαρ-
δεύσεις ἐκ τῶν ἐχόντων ἐπιτηδείως ἕως τελειώσεως καὶ
διαμονῆς, ἐφ' ὅσον τὰ ὑποβληθέντα θεμέλια τὴν προσδο-
χὴν δύναται ποιεῖσθαι. οὐ γὰρ ἀθροισμὸν δεῖ μόνον γε- 90
νέσθαι οὐδὲ δῖνον ἐν ᾧ ἐνδέχεται κόσμον γίνεσθαι κενῷ
κατὰ τὸ δοξαζόμενον ἐξ ἀνάγκης αὔξεσθαί τε, ἕως ἂν
ἑτέρῳ προσκρούσῃ, καθά περ τῶν φυσικῶν καλουμένων
φησί τις. τοῦτο γὰρ μαχόμενόν ἐστι τοῖς φαινομένοις.

Ἥλιός τε καὶ σελήνη καὶ τὰ λοιπὰ ἄστρα ⟨οὐ⟩ καθ'
ἑαυτὰ γενόμενα ὕστερον ἐμπεριελαμβάνετο ὑπὸ τοῦ κό-
σμου, ἀλλ' εὐθὺς διεπλάττετο καὶ αὔξησιν ἐλάμβανεν κατὰ
προσκρίσεις καὶ δινήσεις λεπτομερῶν τινων φύσεων, ἤτοι

13 κόσμου καὶ ὅσα γε δὴ σώζει GLOSSEMA
14 ἐλάμβανεν· ὁμοίως δὲ καὶ γῆ καὶ θάλαττα GLOSS. u. 12

1 πέρ τινα libri: corr. Casaubonus | φασίν] φύσιν B | ἐπιτη-
δείων] ἐπιτηδειότητα F | τινῶν om Ff || 2 κόσμου ἢ] κόσμου
καὶ Ff, γρ mg $P^2$ | ἢ καὶ $FHP^2f$: ἢ $BP^1Q$ | κατὰ μικρὸν om F ||
3 καὶ μεταστάσεις om f || 4 ἐὰν] ἂν Ff, γρ $P^2$ | τύχῃ om $P^1$ ||
5 ἕως] καὶ f || 6 διαμονῆς libri | ἐφ' ὅσον $FP^2f$ ἐφόσον B: ἐφ'
ὃ $H(P^1)Q$ | τὰ] καὶ τὰ $H^2Q$ | προσοχὴν Ff, γρ mg $P^2$ || 8 δῖνον
PQ δεῖνον H δεινὸν BFf || 9 αὐξάνεσθαί τε F || 11 φησὶ τίς· F.
scil. Democritus, cf. Hippol. p. 565, 13 D. φθείρεσθαι δὲ αὐτοὺς ὑπ'
ἀλλήλων προσπίπτοντας Aetius II 4, 9 p. 331, deque necessitate
Democritea Laertius IX 45 init. || 12 οὐ καθ' Aldobrandinus: καθ'
libri || 13 αὐτὰ Ff | γενόμενα BFf: γινόμενα HPQ | ὕστερον om
Q | ἐνπεριελαμβάνετο B | κόσμου καὶ ὅσα .. σώζει ἀλλ' εὐθὺς ...
ἐλάμβανεν· ὁμοίως .... θάλαττα κατὰ προσκρίσεις HPQf κόσμου . ὁ-
μοίως .... θάλαττα κατὰ προσκρίσεις (omissis καὶ ὅσα .. σώζει
ἀλλ' .... ἐλάμβανεν) B κόσμου καὶ ὅσα γε δὴ 'καὶ θάλαττα κατὰ
προσκρίσεις sed omissa 'δὴ σώζει· ἀλλ' .... ἐλάμβανεν· ὁμοίως
δὲ καὶ γῆ in mg m. 2 suppleuit F || 14 καὶ τὰ πρὸς κρίσεις f

16 δὴ] δεῖ f | σώζει emendatio incerta. si recte Gassendus
hoc glossema sequenti subiecit, fuit fortasse συζῇ

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

ἐν τοῖς μετεώροις συντελουμένων φέρειν τῶν παρ' ἡμῖν τινα φαινομένων, ἃ θεωρεῖται ἢ ὑπάρχει, καὶ οὐ τὰ ἐν τοῖς μετεώροις φαινόμενα ✕ ταῦτα γὰρ ἐνδέχεται πλεονα-
88 χῶς γενέσθαι. τὸ μέντοι φάντασμα ἑκάστου τηρητέον καὶ ἔτι τὰ συναπτόμενα τούτῳ διαιρετέον, ἃ οὐκ ἀντιμαρτυρεῖται τοῖς παρ' ἡμῖν γινομένοις πλεοναχῶς συντελεῖσθαι.

Κόσμος ἐστὶ περιοχή τις οὐρανοῦ, ἄστρα τε καὶ γῆν καὶ πάντα τὰ φαινόμενα περιέχουσα, ἀποτομὴν ἔχουσα ἀπὸ τοῦ ἀπείρου καὶ λήγουσα ἢ ἐν περιαγομένῳ ἢ ἐν στάσιν ἔχοντι καὶ στρογγύλην ἢ τρίγωνον ἢ οἵαν δή ποτε περιγραφήν. πανταχῶς γὰρ ἐνδέχεται· τῶν γὰρ φαινομένων οὐδὲν ἀντιμαρτυρεῖ ⟨ἐν⟩ τῷδε τῷ κόσμῳ, ἐν ᾧ
89 λῆγον οὐκ ἔστι καταλαβεῖν. Ὅτι δὲ καὶ τοιοῦτοι κόσμοι εἰσὶν ἄπειροι τὸ πλῆθος, ἔστι καταλαβεῖν, καὶ ὅτι καὶ ὁ τοιοῦτος δύναται κόσμος γίνεσθαι καὶ ἐν κόσμῳ καὶ μετακοσμίῳ, ὃ λέγομεν μεταξὺ κόσμων διάστημα, ἐν πολυκένῳ τόπῳ καὶ οὐκ ἐν μεγάλῳ εἰλικρινεῖ καὶ κενῷ, καθά

---

9 ἀπείρου· καὶ καταλήγουσα ἐν πέρατι ἢ ἀραιῷ ἢ πυκνῷ ADDITAMENTVM ad u. 9

καὶ 'οὗ λυομένου πάντα τὰ ἐν αὐτῷ σύγχυσιν λήψεται' ADDITAMENTVM ad u. 7 sq.

2 φαινόμενα ἃ B | ἢ Woltjer de Lucr. philosophia p. 118: ἡ libri || 3 γάρ] γὰρ ἃ θεωρεῖται ἢ ὑπάρχει· καὶ οὕτως ἐν τοῖς μετεώροις φαινόμενα· ταῦτα γὰρ F | γὰρ οὐ δέχεται f || 4 ἑκάστων f. fort. ἕκαστον || 5 ἔτι] ἐπὶ libri || 6 γενομένοις H || 9 καὶ λήγουσαν libri: corr. Gassendus | ἢ ἐμπεριαγομένῳ f | ἢ ἔνστασιν libri: corr. Gassendus || 10 καὶ ἢ στρογγ. idem || 11 πανταχοῦ H²Q | 12 ἐν τῷδε] τῶδε libri nisi quod τόδε F || 14 εἰσι Q | καὶ ὅτι καὶ] καὶ ὅτι Schneiderus || 15 fort. κόσμῳ κἀν | μετακοσ[μί]ῳ B² | 16 λέγομεν·· P | κόσμον HPQ | ἐν] ἢ F || 17 cf. Leucippus Hippolyti phil. 12 p. 564, 29 D. κόσμους γίνεσθαι, ὅταν εἰς μέγα κενὸν ἐκ τοῦ περιέχοντος ἀθροισθῇ πολλὰ σώματα, Laertii IX 31

18 sq. ex Epicuro suppleta cf. Aetius II 7, 3 p. 336 D. | ἀραιῷ P ἀρεῷ B || 18—20 continuant libri. quod sequitur fragmentum Epicuri patet esse ex definitione κόσμου petitum || 20 οὗ ex οὐ corr. H | λήψονται F

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf

Πρῶτον μὲν οὖν μὴ ἄλλο τι τέλος ἐκ τῆς περὶ με-
τεώρων γνώσεως εἴ τε κατὰ συναφὴν λεγομένων εἴ τε
αὐτοτελῶς νομίζειν εἶναι ἤ περ ἀταραξίαν καὶ πίστιν βέ-
βαιον, καθά περ καὶ ἐπὶ τῶν λοιπῶν. Μήτε τὸ ἀδύνατον 86
καὶ παραβιάζεσθαι μήτε ὁμοίαν κατὰ πάντα τὴν θεωρίαν
ἔχειν ἢ τοῖς περὶ βίων λόγοις ἢ τοῖς κατὰ τὴν τῶν ἄλ-
λων φυσικῶν προβλημάτων κάθαρσιν, οἷον ὅτι τὸ πᾶν
σώματα καὶ ἀναφὴς φύσις ἐστὶν ἢ ὅτι ἄτομα ⟨τὰ⟩ στοι-
χεῖα, καὶ πάντα τὰ τοιαῦτα ὅσα μοναχὴν ἔχει τοῖς φαι-
νομένοις συμφωνίαν· ὅ περ ἐπὶ τῶν μετεώρων οὐχ ὑπάρ-
χει, ἀλλὰ ταῦτά γε πλεοναχὴν ἔχει καὶ τῆς γενέσεως
αἰτίαν καὶ τῆς οὐσίας ταῖς αἰσθήσεσι σύμφωνον κατη-
γορίαν. οὐ γὰρ κατὰ ἀξιώματα κενὰ καὶ νομοθεσίας φυ-
σιολογητέον, ἀλλ' ὡς τὰ φαινόμενα ἐκκαλεῖται· οὐ γὰρ 87
ἤδη ἀλογίας καὶ κενῆς δόξης ὁ βίος ἡμῶν ἔχει χρείαν,
ἀλλὰ τοῦ ἀθορύβως ἡμᾶς ζῆν. πάντα μὲν οὖν γίνεται
ἀσείστως καὶ πάντων κατὰ πλεοναχὸν τρόπον ἐκκαθαιρο-
μένων συμφώνως τοῖς φαινομένοις, ὅταν τις τὸ πιθανο-
λογούμενον ὑπὲρ αὐτῶν δεόντως καταλίπῃ· ὅταν δέ τις
τὸ μὲν ἀπολίπῃ, τὸ δὲ ἐκβάλῃ ὁμοίως σύμφωνον ὂν τῷ
φαινομένῳ, δῆλον ὅτι καὶ ἐκ παντὸς ἐκπίπτει φυσιολο-
γήματος, ἐπὶ δὲ τὸν μῦθον καταρρεῖ. σημεῖα δ' ἐπὶ τῶν

1 ἀλλό τι FP | ἐκ suspectum || 2 κατὰ τὴν συναφὴν F | [εἴ]τε αὐτοτ. F || 4 Epicurus ἔπειτα μήτε dixisset | [τὸ ἀ]δύνατ[ον] $P^{2}$ || 5 καὶ $BH^{2}Q$: om $FH^{1}P^{3}f$ || 6 κατὰ τὴν] κατὰ f || 8 σῶμα libri | καὶ om $H^{1}$ | ἀναφῆς B | φύσεως $H^{3}$ | τὰ adieci || 9 τοιαῦτα ἢ ὅσα libri: corr. Schneiderus || 10 ὑπάρχειν libri: corr. Gassendus || 11 γεννήσεως F || 12 αἰσθήσεσιν B || 13 κενὰ] καινὰ f κοινὰ F | φυσιολογιτέον BF φυσιαλογητέον Q || 14 ἐκλαλεῖται Q || 15 ἤδη ἀλογίας $FHP^{3}f$: ἰδιαλογίας $BP^{1}Q$ mg H εἶχεν (h. e. codex) ἰδιαλογίας mg $P^{3}$ ἰδιολογίας s | χρείας Q || 16 οὖν HPQ: οὐ BFf || 17 καὶ] κατὰ libri | πάντων] πᾶν τῶν $HP^{1}Q$ | ἐκκαθαιραυμένων B || 18 πιθαγνολογούμενον $Q^{1}$ || 19 δεόντος F | καταλίπει B || 21 δηλονότι libri praeter Q || 22 δ' ἐπὶ] δέ τι $BP^{1}Q$ δέ τινα $FHP^{3}f$

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/15?context=pdf